ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.
Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν
ἀνομίαν, ὅτι εἰσήκουσε κύριος τῆς φωνῆς
τοῦ κλαυθμοῦ μου.
Ἤκουσε κύριος τῆς δεήσεώς μου, κύριος τὴν
προσευχήν μου προσεδέξατο.
Αἰσχυνθείησαν καὶ ταραχθείησαν πάντες οἱ
ἐχθροί μου, ἀποστραφείησαν καὶ καταισχυνθεί-
ησαν σφόδρα διὰ τάχους.

ς Ψαλμὸς τῷ Δαβίδ, ὃν ᾖσε τῷ κυρίῳ
ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενεί. ζ'.

Κύριε ὁ θεός μου ἐπὶ σοὶ ἤλπισα,
σῶσόν με ἐκ πάντων τῶν διωκόντων
με, καὶ ῥῦσαί με. θ ΑΡ. ῥῦσαι
Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου,
μὴ ὄντος λυτρουμένου μηδὲ σῴζοντος.
Κύριε ὁ θεός μου εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν
ἀδικία ἐν χερσί μου.
Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι
κακά, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν
μου κενός.
Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου,

καὶ καταλ.